δήποτε. Τινὲς γάρ, φησί, λέγουσιν ὅτι αἱ τοιαῦται ἐνέργειαι οὐχ ἁρμόζουσιν ὅλῃ τῇ ψυχῇ, ἀλλὰ τοῖς μέρεσιν· φασὶ γὰρ τὴν ψυχὴν εἶναι μεριστὴν καὶ ἄλλῳ μὲν νοεῖν, ἄλλῳ δὲ ἐπιθυμεῖν, ὥσπερ καὶ ἐτίθεντο τὴν αἰσθητικὴν ἐν τῷ ἐγκεφάλῳ, καὶ τὴν ζωτικὴν ἐν τῇ καρδίᾳ, καὶ τὰ τοιαῦτα. | Ἀλλ' αὕτη ἡ δόξα τρόπον τινὰ ἐστὶν ἀληθής, καὶ τινὰ τρόπον ἕτερον f. 289 ψευδής, διότι ἂν ἐν τῇ ψυχῇ νοήσῃς διάφορα μέρη ὡς δυνάμεων, οὕτως ἐστὶν ἀληθές, διότι ἡ ψυχὴ ἔχει διάφορα μέρη ὡς δυνάμεις, καὶ ἄλλη μὲν νοεῖ, ἄλλη δὲ αἰσθάνεται· ἡ γὰρ ψυχὴ ὅλον τί ἐστι δυναμικόν, καὶ τὸ μέρος ἐκεῖ λαμβάνεται δυναμικὸν οἰκείως τῷ ὅλῳ. Εἰ δὲ νοεῖται, ὅτι ἡ ψυχὴ μέγεθός τί ἐστιν ἤγουν ποσότης, καὶ διαιρεῖται εἰς διάφορα μέρη ποσά, οὕτως ἐστὶ ψεῦδος. Οὗτοι δὲ οἱ φιλόσοφοι ἐνόουν τὴν ψυχὴν εἶναι μεριστὴν κατὰ τοῦτον τὸν τρόπον, καὶ προσετίθεσαν πλέον, ὅτι αἱ τοιαῦται δυνάμεις τῆς ψυχῆς ἦσαν διαφόρου ψυχῆς.

Τί οὖν δήποτε. Ἐνταῦθα ἑπομένως ἀποδοκιμάζει τὴν προειρημένην δόξαν διὰ τριῶν λόγων, ὧν ὁ πρῶτος τοιοῦτός ἐστι· τὰ διάφορα οὐ δύνανται συνέρχεσθαι εἰ μὴ παρά τινος ἑνοῖντο· εἰ τοίνυν εἰσὶ διάφοροι ψυχαὶ ἐν τῷ σώματι, δεῖ ταύτας παρά τινος συνέχεσθαι καὶ ἑνοῦσθαι· ἀλλ' οὐδέν ἐστιν, ὅπερ ἂν συνέχοι καὶ ἑνοῖ αὐτάς· οὐκ ἄρα εἰσὶ διάφοροι. Καὶ ὅτι οὐδέν ἐστι τὸ συνέχον καὶ ἑνοποιοῦν τὴν ψυχήν, οὕτω δείκνυται, ὅτι τὸ σῶμά ἐστιν ἐν ᾧ ὑπάρχει, ἢ ἄλλο τι. Ἀλλὰ τὸ σῶμα οὐχ ἑνοῖ αὐτὴν καὶ συνέχει, ἡ δὲ ψυχὴ μᾶλλον συνέχει τὸ σῶμα· ὁρῶμεν γὰρ ὅτι, ἐξερχομένης τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, ἐκλείπει καὶ μαραίνεται τὸ σῶμα. Εἰ δὲ ἄλλο τι συνέχοι αὐτήν, τότε τοῦτο ἔσται μάλιστα ψυχή, διότι τῆς ψυχῆς ἐστι τὸ συνέχειν καὶ ἰθύνειν· κἂν ᾖ τοῦτο ψυχή, τότε πάλιν δεήσει ζητεῖν πότερον ἕν ἐστιν, ἢ πολυμερές· κἂν ῥηθῇ, ὅτι πολυμερές, πάλιν ἔσται ζήτησις τί ἂν εἴη τὸ ἑνοῦν αὐτό, καὶ οὕτως εἰς ἄπειρον. Ἂν δὲ ῥηθῇ, ὅτι ἐστιν ἕν, διατί οὐκ εὐθὺς λέγουσι, τουτέστιν ἀπ' αὐτῆς τῆς ἀρχῆς, τὴν ψυχὴν εἶναι ἕν; Οὐκ ἄρα διαιρετή ἐστιν ἡ ψυχὴ εἰς μέρη ποσά, ὡς αὐτοὶ λέγουσιν.

Ἀπορήσειε δ' ἄν τις. Ἐνταῦθα τίθησι τὸν δεύτερον λόγον τοιοῦτον ὄντα· εἰ γὰρ διάφορα μέρη τῆς ψυχῆς εἰσὶν ἐν διαφόροις μέρεσι τοῦ σώματος, ἕπεται ὅτι ἑκάστῃ ἐνεργείᾳ τῆς ψυχῆς ἀφώρισται μέρος τοῦ σώματος εἴτουν ὄργανον σωματικόν. Ἀλλὰ τοῦτο ἀδύνατόν ἐστι, διότι ὁ νοῦς οὐκ ἔχει διωρισμένον μέρος εἴτουν ὄργανον ἐν τῷ σώματι. Οὐκ ἄρα ἡ ψυχὴ ἔχει διάφορα μέρη, ὡς αὐτοὶ λέγουσιν.

Φαίνεται δὲ καὶ τὰ φυτά. Ἐνταῦθα τίθησι τὸν τρίτον λόγον τοιοῦτον ὄντα· ἐὰν διάφοροι ἐνέργειαι τῆς ψυχῆς ὦσιν ἐν διαφόροις μέρε-

---

5 *ἕτερον* om B 26 *τότε* avant *πάλιν* add B

Ε.Υ.Δ της Κ.Ι.Ι ΙΩΑΝΝΙΝΑ 2006

σιν, τότε οὐκ ἔσται εὑρεῖν μέρος ἐν ᾧ εἰσι πολλαὶ ἐνέργειαι ἅμα, οὐδὲ ἔσονται μέρη τοῦ ζῴου ὁμοειδῆ. Ἀλλ' ἡμεῖς ὁρῶμεν μέρη ἐμψύχων τινῶν ἔχοντα πλείους ἐνεργείας καὶ ὧν ἡ ψυχή ἐστι τοῦ αὐτοῦ εἴδους ἐν τῷ ὅλῳ καὶ ἐν τοῖς μέρεσιν, ὡς ἔστιν ἐν τοῖς φυτοῖς καὶ ἔν τισι ζῴοις, ἅτινα ἀποκοπέντα ζῇ, ὡς ἔστιν ἐν τοῖς ζῴοις τοῖς ἐντόμοις, ὧν ὁτιοῦν μέρος ἀποτμηθὲν αἰσθάνεται καὶ κινεῖται ἐπί τινα χρόνον. Κἂν ῥηθῇ, ὅτι οὐκ ἐπὶ πολὺ ζῶσιν, οὐδὲν προσίσταται, διότι οὐκ ἔχουσιν ὄργανα δι' ὧν σῴζοιεν ἂν τὴν ἐκείνων φύσιν, ὅμως εἰσὶν ἐν διαφόροις μέρεσι πλείους ἐνέργειαι τῆς ψυχῆς, καὶ εἰσὶν ἀλλήλοις ὁμοειδῆ καὶ τῷ ὅλῳ. Οὐκ ἄρα εἰσὶ διάφορα μέρη τῆς ψυχῆς ἐν διαφόροις μέρεσι τοῦ σώματος. Ὁ δὲ λόγος τοῦ ἀποτμηθέντος ζῆν, ὅτι ὅσῳ ἡ ψυχὴ τελειωτέρα ἐστίν, τοσούτῳ προβάλλεται ἐνεργείας τελείας καὶ διαφόρους, καὶ διὰ τοῦτο πρὸς τὸ προχειρίζεσθαι τὰς τοιαύτας ἐνεργείας ἀναγκαῖα εἰσὶν αὐτῇ πλείω καὶ διάφορα ὄργανα σωματικά. Διότι δὲ ἡ λογικὴ ψυχή ἐστι τιμιωτέρα καὶ τελειοτέρα, τοσούτῳ μείζονα διαφορὰν ἀπαιτεῖ τῶν ὀργάνων. Ἡ ψυχὴ δὲ ἡ ἐν τοῖς ἐντόμοις ζῴοις κἂν τοῖς φυτοῖς, διότι ὀλίγον ἔχει τελειότητος, οὐδὲ προβάλλεται διαφόρους ἐνεργείας· διὰ τοῦτο ζητεῖ σῶμα μᾶλλον ὅμοιον καὶ σῴζεται ἐν ἑκάστῳ μέρει.

Ἔοικε δὲ καὶ ἡ. Ἐνταῦθα λύει τὸ δεύτερον ζήτημα· περὶ ὃ δὴ ἰστέον ἐστίν, ὅτι τὸ ζῆν κυρίως ἐστὶν τῶν ἐχόντων κίνησιν καὶ ἐνέργειαν ἐξ ἑαυτῶν ἄνευ τοῦ κινεῖσθαι παρ' ἄλλων. Ὅθεν καὶ τὸ ζῆν διχῶς λαμβάνεται· ἕνα μὲν τρόπον λαμβάνεται τὸ ζῆν, ὅπερ ἐστὶ τὸ εἶναι τοῦ ζῶντος, ὥς φησιν ὁ Φιλόσοφος, ὅτι τὸ ζῆν τοῖς ζῶσιν ἔστι τὸ εἶναι· ἄλλον δὲ τρόπον, ἡ ἐνέργεια. Ῥητέον οὖν, ὅτι ἡ ψυχὴ ἡ ἐν τοῖς φυτοῖς, τουτέστιν ἡ φυτική, δοκεῖ εἶναι ἀρχή τις φανεροῦσα τὴν ζωὴν ἐν τούτοις τοῖς ὑποκάτω πράγμασι, διότι χωρὶς ταύτης | f. 289v οὐδὲν ζῇ καὶ ἐν ταύτῃ μόνῃ κοινωνοῦσι πάντα τὰ ζῶντα· ἐν δὲ ταῖς ἄλλαις οὐ πάντα· τὰ γὰρ ζῷα καὶ τὰ φυτὰ ἐν τῇ φυτικῇ συνέρχονται μόνον.

Ἔτι ἡ φυτικὴ δύναται εἶναι ἄνευ τῆς αἰσθητικῆς καὶ νοερᾶς, ἀλλ' ἐκεῖναι οὐ δύνανται εἶναι χωρὶς τῆς φυτικῆς· οὐδὲν γὰρ ζῷον ἔχει αἴσθησιν καὶ νοῦν χωρὶς ταύτης, δηλονότι τῆς φυτικῆς. Οὕτω τοίνυν τὸ ζῆν ἀποδίδοται αὐτῇ τῇ ἀρχῇ, δηλονότι τῇ φυτικῇ, ὥσπερ τὸ αἰσθάνεσθαι τῇ ἀφῇ, οὐ μέντοι διότι τὸ ζῷον διὰ μόνης τῆς φυτικῆς ζῇ, ἀλλὰ διότι ἐστὶ πρώτη ἀρχή, ἐν ᾗ φανεροῦται ἡ ζωή.

---

6 *ζῇ καὶ* après *ἀποτμηθὲν* add B    7 *οὐδὲν προσίσταται* om B

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# Livre deuxième.

*† ΤΟΥ ΑΥΤΟΥ ἘΞΗΓΗΣΙΣ ΕΙΣ ΤΟΝ ΔΕΥΤΕΡΟΝ ΤΩΝ ΠΕΡΙ ΨΥΧΗΣ ΛΟΓΩΝ ἈΡΙΣΤΟΤΕΛΟΥΣ.*

## Leçon I.

Τὰ μὲν δὴ ὑπὸ τῶν προτέρον. Θεὶς ὁ Φιλόσοφος τὰς τῶν ἄλλων δόξας ἐν τῷ πρώτῳ βιβλίῳ, ἔρχεται νῦν ἐν τῷ παρόντι δευτέρῳ πρὸς τὸ διορίσασθαι περὶ τῆς ψυχῆς κατὰ τὴν ἰδίαν δόξαν καὶ τὴν ἀλήθειαν. Καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, φησὶ περὶ τίνος ἐστὶν ὁ σκοπός, συνέχειαν ποιῶν τῶν ἐπομένων πρὸς τὰ προηγούμενα· δεύτερον, ἐπεξεργάζεται τὸν σκοπὸν ἐν τῷ· Λέγομεν δέ.

Λέγει τοίνυν πρῶτον, ὅτι ἐν τῷ πρώτῳ βιβλίῳ εἴρηται τὰ παραδεδομένα παρὰ τῶν προτέρων περὶ ψυχῆς, ἀλλὰ δεῖ πάλιν ἐπανιόντας ἀπ' ἀρχῆς διορίσασθαι τὴν ἀλήθειαν, ὅπερ διὰ τὴν αὐτοῦ δυσχέρειαν μᾶλλον δεῖ πειρωμένους ποιεῖν ἢ θαρροῦντας ὡς εὑρεθησομένης ἀναμφιβόλῳ τῆς ἀληθείας. Καὶ ἐπεὶ πρότερον ἐν τῷ προοιμίῳ ἐζητήθη πότερον πρῶτον περὶ αὐτῆς τῆς ψυχῆς, ἢ περὶ τῶν μερῶν αὐτῆς εἴη διοριστέον, ὡσανεὶ διοριζόμενος τὸ ζήτημα τοῦτο φησίν, ὅτι ἀπ' ἀρχῆς ῥητέον ἐστὶν τί ἐστιν ἡ ψυχή, ἐν ᾧ δηλοποιοῦται αὐτὴ ἡ ὕπαρξις αὐτῆς· μετὰ δὲ ταῦτα διορισθήσεται περὶ τῶν μερῶν εἴτουν τῶν δυνάμεων αὐτῆς· καὶ τὸν τούτου λόγον ὥσπερ ἀποδιδοὺς ἐπάγει· Καὶ τίς ἂν εἴη κοινότατος λόγος. Ὅταν γὰρ δεικνύηται τί ἐστιν ἡ ψυχή, παραδίδοται τὸ κοινόν· ὅταν δὲ διορίζηται περὶ ἑκάστου τῶν μερῶν αὐτῆς ἢ τῶν δυνάμεων, παραδίδοται ὅπερ ἐστὶν εἰδικὸν περὶ τὴν ψυχήν. Ἐνταῦθα δὲ τάξις ἐστὶ τῆς διδασκαλίας ἡ ἀπὸ τῶν κοινοτέρων πρὸς τὰ ἧττον κοινὰ πρόοδος, ὥς φησιν ὁ Φιλόσοφος ἐν τῷ πρώτῳ τῶν φυσικῶν.

Λέγομεν δή. Ἐνταῦθα ἐπεξέρχεται τῷ σκοπῷ ὃν προὔθετο, καὶ διαιρεῖται εἰς δύο. Ἐν τῷ πρώτῳ δείκνυσι τί ἐστιν ἡ ψυχή. Ἐν τῷ δευτέρῳ διορίζεται περὶ τῶν μερῶν αὐτῆς ἢ τῶν δυνάμεων, ἐν τῷ· Τῶν δὲ δυνάμεων. Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, τίθησιν ὁρισμὸν τῆς ψυχῆς, ὅς ἐστιν ὡσανεὶ ἀποδείξεως συμπέρασμα· δεύτερον, τίθησιν ὁρισμὸν τῆς ψυχῆς, ὅς ἐστιν ὡσανεὶ ἀρχὴ ἀποδείξεως, ἐν τῷ· Ἐπεὶ δὲ ἐκ τῶν ἀσαφῶν μέν. Περὶ τὸ πρῶτον αὖθις δύο ποιεῖ· πρῶτον, τίθησι τὸν πρῶτον ὁρισμὸν τῆς ψυχῆς· δεύτερον, φανεροῖ αὐτόν. Πρὸς δὲ τὸ πρῶτον αὖθις δύο ποιεῖ· πρῶτον, προτάττει τινὰς διαιρέσεις, ἐξ ὧν λαμβάνεται

---

2-3 Titre om B  Dans la marge de droite: *Ἰωάννου Φιλοπόνου ἐξήγησις* A
21 *δείκνυται* B  26 *προέθετο* B  25-34 B supprime la phrase *περὶ — ποιεῖ*

ΙΩΑΝΝΙΝΑ 2006

ἡ ὁδὸς πρὸς τὸ θηρᾶν τὸν ὁρισμὸν τῆς ψυχῆς· δεύτερον, ἀνιχνεύει τὸν ὁρισμὸν τῆς ψυχῆς, ἐν τῷ· ....

Ἰστέον δὲ ὅτι, ὡς λέγεται ἐν τῷ πρώτῳ τῶν ὑστέρων, πᾶς ὁρισμὸς ἢ συμπέρασμα ἐστὶν ἀποδείξεως, ὡς τό· βροντὴ ἐστὶν συνεχὴς ἦχος ἐν νέφεσιν· ἢ ἔστιν ἀρχὴ ἀποδείξεως, ὡς τό· βροντὴ ἐστὶ σβέσις πυρὸς ἐν νέφει· ἢ ἔστιν ἀπόδειξις θέσει, τουτέστι τάξει διαφέρουσα, ὡς τό· βροντή ἐστι συνεχὴς ἦχος ἐν νέφεσι δι' ἀπόσβεσιν πυρὸς ἐν νέφει. Ἐν τούτῳ γὰρ τίθεται καὶ ἡ ἀρχὴ τῆς ἀποδείξεως καὶ τὸ συμπέρασμα, ἀλλ' οὐ κατὰ τὴν τάξιν τοῦ συλλογισμοῦ. Διὰ τοῦτο καὶ ὁ Φιλόσοφος ἐνταῦθα δύο ὁρισμοὺς ἀποδίδωσι τῆς ψυχῆς, ὧν ὃ μέν ἐστιν ὡς ἀρχὴ ἀποδείξεως, ὃ δὲ ὡς συμπέρασμα. Ἔτι ἰστέον ἐστὶν ὅτι, ὡς διδάσκει ὁ Φιλόσοφος ἐν τῷ ἑβδόμῳ τῶν μετὰ τὰ φυσικά, αὕτη ἐστὶ διαφορὰ μεταξὺ τοῦ ὁρισμοῦ τῆς οὐσίας καὶ τοῦ συμβεβηκότος, ὅτι ἐν τῷ ὁρισμῷ τῆς οὐσίας οὐδὲν τίθεται ὅπερ ἐστὶν ἔξω τῆς οὐσίας τοῦ ὁριστοῦ· ὁρίζεται γὰρ ἑκάστη οὐσία διὰ τῶν ἰδίων ἀρχῶν τῶν ὑλικῶν καὶ εἰδικῶν· ἐν τῷ ὁρισμῷ δὲ τοῦ συμβεβηκότος τίθεταί τι, ὅπερ ἐστὶν ἔξω τῆς οὐσίας τοῦ ὁριστοῦ, δηλονότι τὸ ὑποκείμενον. Δεῖ γὰρ τὸ ὑποκείμενον τίθεσθαι ἐν τῷ ὁρισμῷ τοῦ συμβεβηκότος, ὥσπερ ὅταν λέγηται· σιμότης ἐστὶ κοιλότης ῥινός. Καὶ τούτου αἰτία ἐστίν, ὅτι ὁ ὁρισμὸς σημαίνει τὸ τί ἐστι τὸ πρᾶγμα. Ἡ δὲ οὐσία ἐστὶ συμπεπληρωμένον τὶ ἐν τῷ ἰδίῳ εἶναι καὶ ἐν τῷ ἑαυτῆς εἴδει· τὸ δὲ συμβεβηκὸς οὐκ ἔχει εἶναι τέλειον ἀλλ' ἀπηρτημένον τῆς οὐσίας. Ὁμοίως οὐδὲν εἶδος ἔστι τι τέλειον ἐν τῷ εἴδει, ἀλλ' ἡ συμπλήρωσις τοῦ εἴδους ἁρμόζει τῇ συνθέτῳ οὐσίᾳ. Ὅθεν ἡ σύνθετος οὐσία οὕτως ὁρίζεται, ὥστε ἐν τῷ ταύτης ὁρισμῷ τίθεσθαί τι, ὅπερ ἐστὶν ἔξω τῆς οὐσίας αὐτοῦ. | f. 290 Ἐν παντὶ δὲ ὁρισμῷ εἴδους τίθεταί τι, ὅπερ ἐστὶν ἔξω τῆς οὐσίας τοῦ εἴδους, δηλονότι τὸ ἴδιον αὐτοῦ ἢ ἡ ὕλη· ὅθεν, ἐπεὶ ἡ ψυχή ἐστιν εἶδος, δεῖ ἐν τῷ ταύτης ὁρισμῷ τίθεσθαι τὴν ὕλην ἢ τὸ ὑποκείμενον αὐτῆς, καὶ διὰ τοῦτο ἐν τῷ πρώτῳ μέρει τίθησι δύο διαιρέσεις, ὧν ἡ πρώτη ἀναγκαία ἐστὶ πρὸς τὸ ἀνιχνεῦσαί τι ἐν τῷ ὁρισμῷ τῆς ψυχῆς τιθέμενον πρὸς δήλωσιν τῆς ὑπάρξεως αὐτῆς· ἡ δὲ λοιπὴ ἀναγκαία ἐστὶ πρὸς τὸ ἀνιχνεῦσαι τὸ τιθέμενον ἐν τῷ ὁρισμῷ τῆς ψυχῆς πρὸς δήλωσιν τοῦ ὑποκειμένου αὐτῆς, ἐν τῷ· Τῆς οὐσίας δὲ μάλιστα, καὶ τὰ λοιπά.

Περὶ τὸ πρῶτον τίθησι τρεῖς διαιρέσεις, ὧν ἡ πρώτη ἐστὶ καθὸ τὸ ὂν διαιρεῖται εἰς τὰς δέκα κατηγορίας, καὶ ταύτην τίθησιν ἐν τῷ λέγειν, ὅτι ἡ οὐσία λέγεται εἶναι ἓν γένος τῶν ὄντων. Δευτέρα διαίρεσις ἐστὶ καθὸ ἡ οὐσία διαιρεῖται εἰς τὴν ὕλην, τὸ εἶδος καὶ τὸ σύνθετον. Καὶ ὕλη μὲν ἐστίν, ἥτις καθ' αὑτὴν οὐκ ἔστι τόδε τι, ἀλλ' ἔστιν ἐν δυνάμει

2 blanc laissé pour la référence au texte d'Aristote, qui a été omise A   24 *μὴ* après *ὁρισμῷ* add B   26 *ἢ* om B

Ε.Υ.Δ ΠΣ Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

μόνον πρὸς τὸ εἶναι τόδε τι. Εἶδος δὲ ἐστὶ καθὸ ἤδη ἐστὶ τόδε τι ἐνεργείᾳ. Οὐσία δὲ σύνθετός ἐστιν, ἥτις ἐστὶ τόδε τι· λέγεται γὰρ εἶναι τόδε τι δεικτόν τι, ὅπερ ἐστὶ τέλειον ἐν τῷ εἶναι καὶ τῷ εἴδει, καὶ τοῦτο ἁρμόζει μόνῃ τῇ συνθέτῳ οὐσίᾳ ἐν τοῖς ὑλικοῖς πράγμασιν. Αἱ γὰρ χωρισταὶ οὐσίαι, κἂν μὴ ὦσι σύνθετοι ἐξ ὕλης καὶ εἴδους, εἰσὶ μέντοι γε τόδε τι διὰ τὸ εἶναι αὐτὰς ὑφεστώσας ἐνεργείᾳ καὶ τελείας ἐν τῇ ἑαυτῶν φύσει. Ἡ δὲ λογικὴ ψυχή, ὅσον πρός τι, δύναται λέγεσθαι τόδε τι, καθότι δύναται καθ' ἑαυτὴν ὑφεστάναι. Ἀλλὰ διότι οὐκ ἔχει εἶδος τέλειον, ἀλλὰ μᾶλλον ἐστὶ μέρος εἴδους, οὐ παντάπασιν ἁρμόζει αὐτῇ τὸ εἶναι τόδε τι. Ἔστι τοίνυν διαφορὰ μεταξὺ τῆς ὕλης καὶ τοῦ εἴδους, ὅτι ἡ ὕλη ἐστὶν ὂν ἐν δυνάμει, τὸ δὲ εἶδος ἐστὶν ἐντελέχεια, τουτέστιν ἐνέργεια, ᾗ δηλονότι γίνεται ἐνεργείᾳ ἡ ὕλη· ὅθεν αὐτὸ τὸ σύνθετον ἐστὶν ὂν ἐνεργείᾳ. Ἡ τρίτη διαίρεσις ἐστίν, ὅτι ἡ ἐνέργεια λέγεται διχῶς· ἕνα μὲν τρόπον, ὡς ἡ ἐπιστήμη ἐστὶν ἐνέργεια· ἄλλον δὲ τρόπον, ὡς τὸ θεωρεῖν ἐστιν ἐνέργεια, καὶ ἡ διαφορὰ τούτων τῶν ἐνεργειῶν ἐκ τῶν δυνάμεων καταλαμβάνεσθαι δύναται. Λέγεται γάρ τις δυνάμει γραμματικὸς πρὸ τοῦ λαβεῖν τὴν ἕξιν τὴν γραμματικὴν ἢ διδασκόμενος, ἢ εὑρίσκων, ἡ δὴ δύναμις εἰς ἐνέργειαν ἄγεται, ὅταν ἤδη τις ἔχῃ τὴν ἕξιν τῆς ἐπιστήμης. Ἀλλὰ τότε πάλιν ἐστὶν ἐν δυνάμει πρὸς τὴν χρῆσιν τῆς ἕξεως, ἐπεὶ μὴ θεωρεῖ ἐνεργείᾳ, καὶ ἀπὸ ταύτης τῆς δυνάμεως εἰς ἐνέργειαν ἄγεται, ὅταν ἐνεργείᾳ θεωρῇ. Οὕτω τοίνυν καὶ ἡ ἐπιστήμη ἐστὶν ἐνέργεια, καὶ τὸ θεωρεῖν ἐστὶν ἐνέργεια.

Οὐσίαι δὲ μάλιστα δοκοῦσιν. Ἐνταῦθα τίθησι τὰς διαιρέσεις, ἐξ ὧν ἀνιχνεύεται τὸ τιθέμενον ἐν τῷ ὁρισμῷ τῆς ψυχῆς ἀνῆκον εἰς τὴν ταύτης οὐσίαν, καὶ τίθησι τρεῖς διαιρέσεις, ὧν πρώτη ἐστίν, ὅτι τῶν οὐσιῶν αἳ μέν εἰσι σώματα, αἳ δὲ οὐκ εἰσὶ σώματα, ἐν αἷς δὴ οὐσίαις μάλιστα φανεραί εἰσιν αἱ σωματικαὶ οὐσίαι· αἱ γὰρ ἀσώματοι οὐσίαι, κἂν ὁποῖαι ὦσιν, ἀφανεῖς εἰσι διὰ τὸ διῳκίσθαι αὐτὰς τῶν αἰσθήσεων, λόγῳ μόνῳ ἀνιχνευομένας. Τοῦτο τοίνυν ἐστὶν ὅ φησιν, ὅτι τὰ σώματα μάλιστα δοκοῦσιν εἶναι οὐσίαι. Δευτέρα διαίρεσίς ἐστιν, ὅτι τῶν σωμάτων τὰ μέν εἰσι φυσικά, τὰ δὲ οὐ φυσικά, δηλονότι τεχνητά. Ὁ γὰρ ἄνθρωπος καὶ τὸ ξύλον εἰσὶ φυσικὰ σώματα· ἡ δὲ οἰκία καὶ ἡ ἀξίνη εἰσὶ τεχνητά· μᾶλλον δὲ δοκοῦσιν οὐσίαι εἶναι τὰ φυσικὰ ἢ τὰ τεχνητά, διότι τὰ φυσικὰ σώματα ἀρχαί εἰσι τῶν τεχνητῶν· οἱ γὰρ τέχνῃ ποιοῦντες ἐργάζονται ἐκ τῆς ὕλης, ἣν ἡ φύσις εἰσφέρει· τὸ δὲ εἶδος, τὸ διὰ τῆς τέχνης εἰσαγόμενον, εἶδος ἐστὶ συμβεβηκός, ὥσπερ σχῆμα, ἢ τοιοῦτό τι· ὅθεν τὰ τεχνητὰ σώματα οὐκ εἰσὶν ἐν τῷ γένει τῆς οὐσίας κατὰ τὸ ἴδιον εἶδος, ἀλλὰ

---

1 *ἐστὶ* après *ἤδη* om B    1-2 *ἐνεργεῖ* B    30 *μάλιστα*: *μᾶλλον* B  *οὐσίαι*: *αἰτίαι* B    35 *εἰσφέρει* corrigé de *προσφέρει* B

Ε.Υ.Ζ.Π. Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

μόνον κατὰ τὴν ὕλην, ἥτις ἐστὶ φυσικόν τι. Ἔχουσι τοίνυν ἀπὸ τῶν σωμάτων τῶν φυσικῶν τὸ εἶναι οὐσίαι. Ὅθεν τὰ φυσικὰ σώματά εἰσι μᾶλλον οὐσίαι τῶν τεχνητῶν· εἰσὶ γὰρ οὐσίαι οὐ μόνον ἐκ τοῦ μέρους τῆς ὕλης, ἀλλὰ καὶ ἐκ τοῦ μέρους τοῦ εἴδους. Τρίτη διαίρεσις ἐστίν, ὅτι τῶν σωμάτων τῶν φυσικῶν τὰ μὲν ἔχουσι ζωήν, τὰ δὲ οὔ. Λέγεται δὲ ἔχειν ζωὴν τὸ δι' ἑαυτοῦ [ἔχον] τροφὴν καὶ αὔξησιν καὶ φθίσιν.

Ἰστέον δὲ ὅτι αὕτη ἡ ἐπεξήγησις μᾶλλον ἐστὶ κατὰ παραδείγματος τρόπον ἢ ὁρισμοῦ· οὐ γὰρ ἐκ μόνου τοῦ ἔχειν αὔξησιν καὶ φθίσιν ζῇ τί, ἀλλὰ καὶ ἐκ τοῦ ζῆν καὶ αἰσθάνεσθαι καὶ τοῦ τὰ ἄλλα τῆς ζωῆς ἔργα πληροῦν δύνασθαι· ὅθεν ἐν ταῖς χωρισταῖς οὐσίαις ἐστὶν ἡ ζωὴ ἐκ τοῦ νοῦν ἔχειν καὶ θέλησιν, ὡς φαίνεται ἐν τῷ ἑνδεκάτῳ τῶν μετὰ τὰ φυσικά, f. 290v καίτοι γε ἐν αὐταῖς οὐκ ἔστι τροφὴ καὶ τὰ τοιαῦτα. Ἀλλὰ διότι | ἐν τούτοις τοῖς γεννητοῖς καὶ φθαρτοῖς ἡ ἐν τοῖς φυτοῖς οὖσα ψυχή, ᾗ ἁρμόζει ἡ τροφὴ καὶ ἡ αὔξησις, ὡς ἐν τῷ τέλει τοῦ πρώτου εἴρηται, ἔστι ταῦτα ἀρχὴ ζωῆς, διὰ τοῦτο ἐνταῦθα σαφηνίζων φησὶ ζωὴν ἔχειν τὸ ἔχον τροφὴν καὶ αὔξησιν. Ὁ κύριος δὲ τῆς ζωῆς λόγος ἐστὶν ἐν τῷ πεφυκέναι τι κινεῖν ἑαυτό, ἐν πλάτει λαμβανομένης τῆς κινήσεως, ὥσπερ ἡ νοερὰ ἐνέργεια κίνησίς τις λέγεται· ἐκεῖνα γὰρ ζωῆς χωρὶς εἶναι λέγομεν, ἅπερ ἐξ ἀρχῆς ἐξωτερικῆς μόνον κινεῖσθαι δύνανται.

Ὥστε πᾶν σῶμα. Ἐνταῦθα ἀνιχνεύει τὸν ὁρισμὸν τῆς ψυχῆς, ὑποτεθειμένων τῶν πρώτων διαιρέσεων, καὶ περὶ τοῦτο τρία τινὰ ποιεῖ· πρῶτον, ἀνιχνεύει τὰ μέρη τοῦ ὁρισμοῦ· δεύτερον, τίθησι τὸν ὁρισμὸν ἐν τῷ· Εἰ δέ τι κοινόν· τρίτον, ἐκ τοῦ δεδομένου ὁρισμοῦ ἀποκλείει τινὰ ἀπορίαν, ἐν τῷ· Οὐ δεῖ δὲ ζητεῖν. Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, ἀνιχνεύει τὰ μέρη τοῦ ὁρισμοῦ τὰ ἀνήκοντα πρὸς τὴν οὐσίαν τῆς ψυχῆς· δεύτερον, τὰ ἀνήκοντα πρὸς τὴν οὐσίαν τοῦ ὑποκειμένου, ἐν τῷ· Τοιοῦτον δέ. Περὶ τὸ πρῶτον αὖθις δύο ποιεῖ· πρῶτον, δείκνυσι τὸ ὅτι ἡ ψυχή ἐστιν ἐντελέχεια· δεύτερον, τὸ ὅτι ἔστιν ἐντελέχεια πρώτη, ἐν τῷ· Αὕτη δὲ λέγεται διχῶς.

Συμπεραίνει τοίνυν πρῶτον ἐκ τῶν προειρημένων ὅτι, ἐπεὶ τὰ φυσικὰ σώματα μάλιστα δοκοῦσιν εἶναι οὐσίαι καὶ πᾶν σῶμα ἔχον ζωὴν ἐστὶ σῶμα φυσικόν, ἀνάγκη ἐστὶ λέγειν, ὅτι πᾶν σῶμα ἔχον ζωὴν ἐστὶν οὐσία· καὶ ἐπεὶ ἐστὶν ὂν ἐντελεχείᾳ, ἀνάγκη ἐστὶν εἶναι οὐσίαν σύνθετον. Διότι δέ, ὅταν λέγω σῶμα ζωὴν ἔχον, λέγω δύο, ὅτι τε δηλονότι ἐστὶ σῶμα, καὶ ὅτι σῶμα τοιοῦτον ἤγουν ζωὴν ἔχον, οὐ δυνατὸν λέγεσθαι, ὅτι ἐκεῖνο τὸ μέρος τοῦ ζωὴν ἔχοντος σώματος, ὃ λέγεται σῶμα, ἔστι ψυχή· διὰ γὰρ τῆς ψυχῆς νοοῦμεν ᾧ τὸ ἔχον ζωὴν ζῇ· ὅθεν δεῖ νοεῖσθαι ὥς τι ἐν

---

6 *ἔχον* om AB, exigé par le sens et le texte latin 21 *τινὰ* om B 24 *αὖθις* avant *δύο* add B 27 *αὖθις*: *πάλιν* B *δείκνυσι* om A

Ε.Υ.Δ. τ. Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ὑποκειμένῳ ὑφεστώς, λαμβανομένου ἐνταῦθα τοῦ ὑποκειμένου καθολικώτερον καὶ οὐ μόνον ὡς λέγεται ὑποκείμενον τὸ ἐνεργείᾳ ὄν, καθ' ὃν τόπον τὸ συμβεβηκὸς λέγεται εἶναι ἐν ὑποκειμένῳ, ἀλλὰ καὶ καθὸ ἡ πρώτη ὕλη, ἣ ἔστι δυνάμει, λέγεται ὑποκείμενον. Τὸ δὲ λαμβάνον τὴν ζωὴν σῶμα μᾶλλον ἐστὶν ὡς ὑποκείμενον καὶ ὕλη ἢ ὥς τι ἐν ὑποκειμένῳ ὑφεστώς. Οὕτω τοίνυν, ἐπεὶ τριπλῆ ἐστιν ἡ οὐσία, δηλονότι τὸ σύνθετον, ἡ ὕλη καὶ τὸ εἶδος, καὶ ἡ ψυχὴ οὐκ ἔστι σύνθετον, ὅπερ ἐστὶ τὸ ζωὴν ἔχον σῶμα, οὐδὲ ὕλη ἐστίν, ἥτις τυγχάνει τὸ ὑποκείμενον τοῦ σώματος τῆς ζωῆς, λείπεται κατὰ τὸν τόπον τὸν ἐξ ὁρισμοῦ, ὅτι ἡ ψυχή ἐστιν οὐσία ὡς μορφὴ ἢ εἶδος τοῦ τοιουδὶ σώματος, δηλονότι φυσικοῦ δυνάμει ζωὴν ἔχοντος. Τὸ γὰρ ζωὴν ἔχον σῶμα νοεῖται οὐσία σύνθετος ζῶσα, τὸ δὲ σύνθετον, οὐ τίθεται ἐν τῷ ὁρισμῷ τοῦ εἴδους, ἀλλ' ἡ ὕλη· ἡ δὲ ὕλη τοῦ ζῶντος σώματος ἐστὶ τὸ παραβαλλόμενον πρὸς τὴν ζωὴν ὡς δύναμις πρὸς ἐντελέχειαν, καὶ τοῦτο ἐστὶν ἡ ψυχή, ἐντελέχεια καθ' ἣν τὸ σῶμα ζῇ, ὥσπερ ἐὰν εἴπω, ὅτι σχῆμα ἐστὶν ἐντελέχεια οὔτοι γε τοῦ ἐνεργείᾳ ἐσχηματισμένου σώματος· τοῦτο γάρ ἐστι σύνθετον ἔκ τε τοῦ σχήματος καὶ τοῦ σώματος· ἀλλὰ τοῦ σώματος, ὅπερ ἐστὶν ὑποκείμενον τοῦ σχήματος, ὃ παραβάλλεται πρὸς τὸ σχῆμα ὡς δύναμις πρὸς ἐντελέχειαν. Καὶ ἵνα μὴ νομίσῃ τις τὴν ψυχὴν οὕτως εἶναι ἐντελέχειαν, ὥσπερ καὶ εἶδός τι ἐπουσιῶδες ἐστὶν ἐντελέχεια, ἐπάγει ὅτι ἡ ψυχὴ ἐστὶν ἐντελέχεια, ὡς ἡ οὐσία ἐστὶν ἐντελέχεια, τουτέστι τὸ εἶδος· καὶ διότι πᾶν εἶδος ἐστὶν ἐν διωρισμένῃ ὕλῃ, λέγει ὅτι ἔστιν εἶδος τοιούτου σώματος, οἷον καὶ εἴρηται.

Ἰστέον δὲ ὅτι αὕτη ἡ διαφορὰ τοῦ οὐσιώδους εἴδους καὶ τοῦ ἐπουσιώδους, ὅτι τὸ ἐπουσιῶδες εἶδος οὐ ποιεῖ ὂν ἐνεργείᾳ ἁπλῶς, ἀλλ' ὂν ἐνεργείᾳ τοιοῦτον, ἢ τοιοῦτον, οἷον ἢ μέγα, ἢ λευκόν, ἤ τι τοιοῦτον· τὸ δὲ οὐσιῶδες εἶδος ποιεῖ ἐνεργείᾳ ὂν ἁπλῶς· ὅθεν τὸ ἐπουσιῶδες εἶδος ἔπεισι τῷ ὑποκειμένῳ ἤδη προϋφεστῶτι ἐνεργείᾳ· τὸ δὲ οὐσιῶδες εἶδος προϋφεστῶτι δυνάμει μόνον, δηλονότι τῇ πρώτῃ ὕλῃ. Ἐξ οὗ φαίνεται, ὅτι ἀδύνατον ἑνὸς πράγματος πλείω εἴδη εἶναι οὐσιώδη, διότι τὸ πρῶτον εἶδος ποιήσειεν ἂν ὂν ἐνεργείᾳ ἁπλῶς, τὰ δὲ ἄλλα πάντα ἐπεισέρχοιντο ἂν τῷ ὑποκειμένῳ ἤδη προϋφεστῶτι· ὅθεν συμβεβηκότως ἂν ἐπιγίνοιντο· οὐ γὰρ ἂν ποιοῖεν ὂν ἐνεργείᾳ ἁπλῶς, ἀλλὰ κατά τι. Διὸ καὶ ἡ θέσις ἐλέγχεται τοῦ Ἀβινσένου ἐν τῷ βιβλίῳ τῆς πηγῆς τῆς ζωῆς, ὅστις ἔθετο κατὰ τὴν τάξιν τῶν γενῶν καὶ τῶν εἰδῶν, εἶναι καὶ τάξιν πλειόνων εἰδῶν οὐσιωδῶν ἐν ἑνὶ καὶ τῷ αὐτῷ πράγματι, ὡς φέρε εἰπεῖν ἐν τούτῳ τῷ ἀτόμῳ τοῦ ἀνθρώπου ἔστιν ἓν εἶδος, τὸ δι' οὗ ἡ οὐσία, καὶ ἄλλο, τὸ δι' οὗ τὸ σῶμα, καὶ τρίτον, τὸ δι' οὗ τὸ ἔμψυχον σῶμα, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

---

9 *καταλείπεται* B  24 *ὅτι* om B *ἡ*: *ἐστὶ* B

Ε.Υ.Δ τ.Φ.Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

Τὸ γὰρ τελειότερον εἶδος δίδωσι τῇ ὕλῃ ὅπερ δίδωσιν αὐτῇ τὸ ἧττον f. 291 | τέλειον εἶδος καὶ ἔτι πλέον. Ὅθεν ἡ ψυχὴ οὐ μόνον ποιεῖ εἶναι οὐσίαν καὶ σῶμα, ὅπερ καὶ τὸ εἶδος τοῦ λίθου ποιεῖ, ἀλλὰ ποιεῖ εἶναι ἔμψυχον σῶμα. Οὐχ οὕτω τοίνυν δεῖ νοεῖν τὸ τὴν ψυχὴν εἶναι ἐντελέχειαν σώματος καὶ τὸ ὑποκείμενον αὐτῆς εἶναι τὸ σῶμα καὶ ὕλην, ὡς τοῦ σώματος ὑποστάντος ἑνὶ εἴδει τῷ ποιοῦντι αὐτὸ εἶναι σῶμα καὶ ἐπεισιούσης αὐτῇ τῆς ψυχῆς, ἥτις ποιεῖ αὐτὸ ζῶν εἶναι σῶμα, ἀλλ' ὡς παρὰ τῆς ψυχῆς ὄντος αὐτῷ καὶ τοῦ εἶναι καὶ τοῦ σῶμα εἶναι καὶ ζῶν σῶμα. Ἀλλὰ τὸ εἶναι σῶμα, ὅπερ ἐστὶν ἀτελέστερον, ἔστιν ὡσανεὶ ὑλικὸν τῇ ἀποβλέψει τῆς ζωῆς, καὶ ἐντεῦθεν ἐστὶν ὅτι, ἀποχωρούσης τῆς ψυχῆς, οὐχ ὑπομένει τὸ αὐτὸ εἴδει σῶμα. Ὁ γὰρ ὀφθαλμὸς καὶ ἡ σὰρξ ἐν τῷ νεκρῷ οὐ λέγεται εἰ μὴ ὁμωνύμως, ὥς φησιν ὁ Φιλόσοφος ἐν τοῖς μετὰ τὰ φυσικά· ἀποχωρούσης γὰρ τῆς ψυχῆς, διαδέχεται ἄλλο εἶδος οὐσιῶδες, ὃ δίδωσιν ἄλλο εἶναι, ἐπεὶ ἡ φθορὰ τοῦ ἑνὸς οὐ γίνεται ἄνευ τῆς ἑτέρου γενέσεως.

Αὕτη δὲ λέγεται διχῶς. Ἐνταῦθα θηρεύει τὸ δεύτερον μέρος τοῦ ὁρισμοῦ, καί φησιν ὅτι ἡ ἐντελέχεια λέγεται διχῶς· ὡς ἡ ἐπιστήμη, καὶ ὡς τὸ θεωρεῖν, καθ' ὃν ἐξηγησάμεθα τρόπον. Καὶ φανερόν, ὅτι ἡ ψυχὴ ἐστὶν ἐντελέχεια ὡς ἡ ἐπιστήμη, διότι ἐκ τοῦ τὴν ψυχὴν εἶναι καὶ ὕπνος ἐνυπάρχει τῷ ζῴῳ καὶ ἐγρήγορσις. Καὶ ἡ μὲν ἐγρήγορσις ἀφομοιῶται τῷ θεωρεῖν, διότι ὥσπερ θεωρεῖν ἐστι τὸ χρῆσθαι τῇ ἐπιστήμῃ, οὕτως ἐγρηγορέναι ἐστὶ τὸ χρῆσθαι ταῖς αἰσθήσεσιν. Ἀλλ' ὁ ὕπνος ἀναλογεῖ τῇ ἕξει τῆς ἐπιστήμης, ὅταν τις κατ' αὐτὴν μὴ ἐνεργῇ· ἐν γὰρ τῷ ὕπνῳ ἠρεμοῦσιν αἱ ψυχικαὶ δυνάμεις. Τούτων δὲ τῶν δύο ἐνεργειῶν προτέρα ἐστὶν ἡ ἐπιστήμη τῇ γενέσει ἐπὶ τοῦ αὐτοῦ. Παραβάλλεται δὲ ἡ θεωρία πρὸς τὴν ἐπιστήμην ὡς ἐνέργεια πρὸς δύναμιν. Ἡ δὲ ἐνέργεια, ὡς λέγεται ἐν τῷ          τῶν μετὰ τὰ φυσικά, ὑστέρα τῆς δυνάμεως· ἔστι γὰρ τέλος καὶ συμπλήρωσις τῆς δυνάμεως. Ἀλλὰ τῇ τάξει τῆς γενέσεως καὶ τοῦ χρόνου, καθόλου διαλεγομένων ἡμῶν, ἡ ἐνέργεια προτέρα τῆς δυνάμεως· τὸ γὰρ ἐν δυνάμει ὂν ἀνάγεται εἰς ἐνέργειαν διά τινος ἐνεργείᾳ ὄντος. Ἀλλ' ἐν ἑνὶ καὶ τῷ αὐτῷ ἡ δύναμις ἐστὶ προτέρα τῆς ἐνεργείας· πρῶτον γάρ τί ἐστιν ἐν δυνάμει, καὶ μετὰ ταῦτα γίνεται ἐνεργείᾳ· καὶ διὰ τοῦτο φησίν, ὅτι ἡ ἐπιστήμη προτέρα ἐστὶ τῇ γενέσει ἐν τῷ αὐτῷ τῆς θεωρίας. Ὅθεν συμπεραίνει ὅτι, ἐπεὶ ἡ ψυχὴ ἐστὶν ἐντελέχεια ὡς ἡ ἐπιστήμη, ἔστιν ἐντελέχεια ἡ πρώτη σώματος φυσικοῦ δυνάμει ζωὴν ἔχοντος.

Ἰστέον δὲ ὅτι ὁ Φιλόσοφος λέγει τὴν ψυχὴν εἶναι ἐντελέχειαν πρώτην, οὐ μόνον διακρίνων τὴν ψυχὴν τῆς ἐντελεχείας, ἥτις ἐστὶν ἐνέργεια, ἀλλ' ἔτι διακρίνων αὐτὴν καὶ τῶν εἰδῶν τῶν στοιχείων, ἅτινα ἀεὶ ἔχουσι τὴν ἰδίαν ἐνέργειαν, εἰ μὴ ἐμποδίζοιντο.

---

10 *ψυχῆς*: *ζωῆς* B 26 blanc après *ἐν τῷ* AB pour la référence omise *ἐστὶ* après *ὑστέρα* add B

Ε.Υ.Δ. της Κ.τ.Λ. ΙΩΑΝΝΙΝΑ 2006

Τοιοῦτο δέ, ὃ ἂν ᾖ. Ἐνταῦθα θηρᾶται τὸ μέρος, ὅπερ ἐστὶν ἐκ τῆς μοίρας τοῦ ὑποκειμένου, καὶ διότι εἶπε τὴν ψυχὴν εἶναι ἐντελέχειαν σώματος φυσικοῦ δυνάμει ζωὴν ἔχοντος, φησί· τοιοῦτον δέ ἐστι πᾶν σῶμα ὀργανικόν, καὶ λέγεται σῶμα ὀργανικὸν τὸ ἔχον διαφορότητα ὀργάνων. Ἡ δὲ διαφορότης τῶν ὀργάνων ἀναγκαία ἐστὶν ἐν τῷ σώματι τῷ δεχομένῳ τὴν ζωὴν διὰ τὰς διαφόρους ἐνεργείας τῆς ψυχῆς. Ἡ γὰρ ψυχή, εἶδος οὖσα τὸ τελεώτατον ἐν τοῖς εἴδεσι τῶν σωματικῶν πραγμάτων, ἐστὶν ἀρχὴ διαφόρων ἐνεργειῶν, καὶ διὰ τοῦτο ζητεῖ διαφορότητα ὀργάνων ἐν τῷ ἰδίῳ τελειωτῷ. Τὰ δὲ εἴδη τῶν ἀψύχων πραγμάτων, ἀτελῆ ὄντα, εἰσὶν ἀρχαὶ ὀλίγων ἐνεργειῶν· ὅθεν οὐκ ἀπαιτοῦσι διαφορότητα ὀργάνων ἐν τοῖς ἰδίοις τελειωτοῖς. Ἐν δὲ ταῖς ψυχαῖς ἡ τῶν φυτῶν ψυχὴ ἀτελεστέρα εὑρίσκεται. Ὅθεν ἐν τοῖς φυτοῖς ἐλάττων ἐστὶ διαφορότης ὀργάνων ἢ ἐν τοῖς ζῴοις. Καὶ διὰ τοῦτο, πρὸς τὸ δεῖξαι ὅτι πᾶν σῶμα δεχόμενον ζωήν ἐστιν ὀργανικόν, λαμβάνει τὴν ἐπιχείρησιν ἐκ τῶν φυτῶν, ἐν οἷς ἐστιν ἥττων ἡ τῶν ὀργάνων διαφορότης. Καὶ τοῦτ' ἔστιν ὅ φησιν, ὅτι καὶ τῶν φυτῶν τὰ μέρη εἰσὶ διάφορα ὄργανα. Ἀλλὰ τὰ μέρη τῶν φυτῶν εἰσὶ πάντη ἁπλᾶ, τουτέστιν ὅμοια· οὐ γάρ ἐστιν ἐν αὐτοῖς τοσαύτη διαφορότης ὥσπερ ἐν τοῖς μέρεσι τῶν ζῴων· ὁ γὰρ ποὺς τοῦ ζῴου ἐκ διαφόρων μέρων σύνθετός ἐστι, δηλονότι σαρκός, νεύρου, ὀστέου καὶ τῶν τοιούτων. Ἀλλὰ τὰ ὀργανικὰ μέρη τῶν φυτῶν οὐκ ἔχουσι τοιαύτην ποικιλίαν τῶν μερῶν, ἐξ ὧν συντίθενται. Καὶ ὅτι τὰ μέρη τῶν φυτῶν εἰσὶν ὀργανικά, φανεροῖ διὰ τοῦ | διάφορα μέρη εἶναι πρὸς διαφόρους f. 291ᵛ ἐνεργείας, ὥσπερ τὸ φύλλον ἐστὶν εἰς σκέπασμα τοῦ περικαρπίου ἢ τοῦ φλοιοῦ, τὸ δὲ περικάρπιον πρὸς σκέπην τοῦ καρποῦ· αἱ δὲ ῥίζαι ἐν τοῖς φυτοῖς ἀναλογοῦσι τῷ στόματι τῶν ζῴων, διότι ἄμφω, τουτέστιν ἡ ῥίζα ἐν τοῖς φυτοῖς καὶ τὸ στόμα ἐν τοῖς ζῴοις, ἕλκουσι τὴν τροφήν.

Εἰ δέ τι κοινὸν ἐπὶ πάσης. Ἐνταῦθα συνάγει ἐκ τῶν προειρημένων ἁπάντων τὸν ὁρισμὸν τῆς ψυχῆς, καὶ φησὶν ὅτι, εἴ τινα κοινὸν λόγον ἀποδίδοσθαι χρή, ὃς ἂν ἐφαρμόσειε πάσῃ ψυχῇ, οὗτος ἔσται· ψυχὴ ἐστὶν ἐντελέχεια ἡ πρώτη σώματος φυσικοῦ ὀργανικοῦ. Οὐ δεῖ δὲ προστιθέναι τό· δυνάμει ζωὴν ἔχοντος· ἀντὶ γὰρ ἐκείνου τίθεται τό, ὀργανικοῦ, ὡς ἐκ τῶν εἰρημένων ἐστὶ δῆλον.

Διὸ καὶ οὐ δεῖ ζητεῖν. Ἐνταῦθα ἐκ τοῦ ἀποδοθέντος ὁρισμοῦ λύει τινὰ ἀπορίαν. Ἠπορήθη γὰρ ὑπὸ πολλῶν πῶς ἂν ἐκ τῆς ψυχῆς καὶ τοῦ σώματος γίνοιτο ἕν. Καὶ τινὲς ἐτίθεντο εἶναί τινα μέσα, δι' ὧν ἡ ψυχὴ ἑνοῦται τῷ σώματι καὶ τρόπον τινὰ συνδεῖται, ἀλλ' αὕτη ἡ ἀπορία τόπον ἤδη οὐκ ἔχει, ἐπεὶ δέδεικται τὴν ψυχὴν εἶδος εἶναι τοῦ σώματος·

2 *τῆς μοίρας*: *τοῦ μέρους* B 15 *ἥττων* om B 25 *τοῖς στόμασι* B
33 *καὶ* om B 36 *τρόπῳ τινὶ* B



ΒΓ.Δ τῆς Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ τοῦτ' ἔστιν ὅ φησιν, ὅτι οὐ δεῖ ζητεῖν εἰ ἐκ τῆς ψυχῆς καὶ τοῦ σώματος γίνεται ἕν, ὥσπερ οὐδ' ἀπορήσειεν ἄν τις τοῦτο περὶ τοῦ κηροῦ καὶ τοῦ σχήματος, οὐδὲ ὅλως περί τινος ὕλης καὶ εἴδους. Δέδεικται γὰρ ἐν τῷ ὀγδόῳ τῶν μετὰ τὰ φυσικά, ὅτι τὸ εἶδος καθαυτὸ ἑνοῦται τῇ ὕλῃ ὡς ἐντελέχεια αὐτῆς, καὶ τὸ τὴν ὕλην ἑνωθῆναι τῷ εἴδει ταὐτόν ἐστιν τῷ τὴν ὕλην εἶναί τε καὶ γεγονέναι ἐνεργείᾳ. Καὶ τοῦτ' ἔστιν ὅ φησιν ἔτι ἐνταῦθα, ὅτι ἐπεὶ τὸ ἓν καὶ τὸ ὂν πλεοναχῶς λέγεται, δηλονότι ἐπί τε τοῦ ὄντος ἐν δυνάμει καὶ ἐπὶ τοῦ ἐνεργείᾳ ὄντος, τὸ κυρίως ὂν καὶ ἕν ἐστιν ἡ ἐντελέχεια. Ὡς γὰρ τὸ δυνάμει ὂν οὐκ ἔστιν ὂν ἁπλῶς, ἀλλὰ πῇ οὕτως οὐδὲ ἕν ἐστιν ἁπλῶς, ἀλλὰ πῇ· οὕτω γάρ τι λέγεται ἓν ὥσπερ καὶ ὄν· καὶ διὰ τοῦτο, ὥσπερ τὸ σῶμα ἔχει τὸ εἶναι διὰ τῆς ψυχῆς ὡς διὰ εἴδους, οὕτω καὶ ἑνοῦται τῇ ψυχῇ ἀμέσως, καθόσον ἡ ψυχὴ ἐστὶν εἶδος τοῦ σώματος. Καθόσον μέντοι γε ἐστὶ κινητικόν, οὐδὲν κωλύει εἶναί τι μέσον, ὥσπερ ἓν μέρος τοῦ σώματος κινεῖται ὑπὸ τῆς ψυχῆς, μεσιτεύοντος ἄλλου.

## Leçon II.

Καθόλου μὲν οὖν εἴρηται. Θεὶς τὸν ὁρισμὸν τῆς ψυχῆς, ὁ Φιλόσοφος ἐνταῦθα φανεροῖ αὐτόν, καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, φανεροῖ τὸν προτεθειμένον ὁρισμόν· δεύτερον, ἐκ τοῦ φανερωθέντος ὁρισμοῦ ἀλήθειαν τινὰ συμπεραίνει ἐν τῷ· Ὅτι μὲν οὖν οὐκ ἔστιν. Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, φανεροῖ τὸν ὁρισμὸν τῆς ψυχῆς ὅσον πρὸς τὸ κείμενον ἐν τῷ ὁρισμῷ τῷ προειρημένῳ ἐκ τοῦ μέρους αὐτῆς τῆς ψυχῆς· δεύτερον, ὅσον πρὸς τὸ κείμενον ἐκ τοῦ μέρους τοῦ ὑποκειμένου, ἐν τῷ· Ἔστι δὲ οὐ τὸ ἀποβεβληκός. Περὶ τὸ πρῶτον αὖθις δύο ποιεῖ· πρῶτον, φανεροῖ τὸν ὁρισμὸν τῆς ψυχῆς ἐκ τῆς ὁμοιότητος τῶν τεχνητῶν· δεύτερον, ἐκ τῶν μερῶν αὐτῆς, ἐν τῷ· Θεωρεῖν δὲ καὶ ἐπὶ τῶν μερῶν.

Ἐπειδὴ γὰρ τὰ τεχνητὰ εἴδη συμβεβηκότα εἰσίν, ἅτινα μᾶλλον εἰσὶ γνώριμα, ὅσον πρὸς ἡμᾶς, τῶν οὐσιωδῶν εἰδῶν ὡς προσεχέστερα τῇ αἰσθήσει, διὰ τοῦτο ἁρμοζόντως τὸν τῆς ψυχῆς λόγον, οὐσιῶδες τυγχάνοντα εἶδος, διὰ τῆς πρὸς τὰ συμβεβηκότα εἴδη παραθέσεως φανεροῖ. Ὁμοίως καὶ τὰ τῆς ψυχῆς μέρη εἴτουν αἱ δυνάμεις αὐτῆς φανερώτερα εἰσίν, ὅσον πρὸς ἡμᾶς, αὐτῆς τῆς ψυχῆς· προΐαμεν γὰρ ἐν τῇ γνώσει τῆς ψυχῆς ἐκ τῶν ἀντικειμένων εἰς τὰς ἐνεργείας, καὶ ἐκ τῶν ἐνεργειῶν εἰς τὰς δυνάμεις, δι' ὧν αὐτὴ ἡμῖν ἡ ψυχὴ φανεροῦται· ὅθεν οἰκείως καὶ διὰ τῶν τῆς ψυχῆς μερῶν ὁ λόγος αὐτῆς φανεροῦται. Λέγει τοίνυν πρῶτον, ὅτι

---

22 *αὖθις* après *πρῶτον* (1°) add B *γὰρ* avant *φανεροῖ* add B 25 *καὶ* avant *περὶ* add B *αὖθις*: *πάλιν* B 27 *καὶ* om B 34 *πρόϊμεν* B

Ε.Υ.Δ της τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καθόλου μὲν εἴρηται τί ἐστιν ἡ ψυχή, ἐπεὶ ὁ προτεθειμένος ὁρισμὸς ἁρμόζει πάσῃ ψυχῇ. Εἴρηται γὰρ ὅτι ὁ ψυχή ἐστιν οὐσία, ἥτις ἐστὶ τὸ εἶδος ἐξ οὗ λαμβάνεται ὁ τοῦ πράγματος λόγος. Ἔστι δὲ διαφορὰ τοῦ τε εἴδους ὃ ἐστιν οὐσία, καὶ τοῦ εἴδους ὅπερ οὐκ ἔστιν οὐσία· τὸ γὰρ συμβεβηκὸς εἶδος, ὅπερ οὐκ ἔστιν ἐν τῷ γένει τῆς οὐσίας, οὐκ ἀνήκει πρὸς τὴν οὐσίαν εἴτουν τὴν ὕπαρξιν τοῦ ὑποκειμένου· οὐ γάρ ἐστιν ἡ λευκότης ἐκ τῆς οὐσίας τοῦ λευκοῦ σώματος, ἀλλὰ τὸ οὐσιῶδες εἶδος ἐστὶν ἐκ τῆς οὐσίας εἴτουν τῆς ὑπάρξεως τοῦ ὑποκειμένου. Οὕτω τοίνυν ἡ ψυχὴ λέγεται οὐσιῶδες εἶδος, διότι ἐστὶν ἐκ τῆς οὐσίας εἴτουν τῆς ὑπάρξεως τοῦ ἐμψύχου σώματος. Καὶ τοῦτο ἐστὶν ὅπερ ἐπάγει· τ ο ῦ τ ο δ έ, δηλονότι ἡ οὐσία ἡ κατὰ τὸν λόγον, τ ὸ τ ί ἦ ν ε ἶ ν α ι τ ῷ τ ο ι ῳ δ ὶ σ ώ μ α τ ι, τῷ σώματι δηλονότι τῷ εἰδο|ποιηθέντι διὰ τοῦ τοιούτου εἴδους· τοῦτο γὰρ f. 292 τὸ εἶδος ἀνήκει πρὸς τὴν τοῦ πράγματος ὕπαρξιν, ἥτις δηλοῦται διὰ τοῦ ὁρισμοῦ τοῦ σημαίνοντος τί ἐστι τὸ πρᾶγμα. Καὶ διότι αἱ οὐσιώδεις μορφαὶ τῶν φυσικῶν σωμάτων εἰσὶ λανθάνουσαι, φανεροῖ τοῦτο διὰ τῶν τεχνητῶν μορφῶν εἴτουν εἰδῶν, ἅτινα εἰσὶν ἐπουσιώδη· καὶ τοῦτ᾽ ἔστιν ὅπερ ἐπάγει· κ α θ ά π ε ρ ε ἴ τ ι τ ῶ ν ὀ ρ γ ά ν ω ν, τουτέστι τῶν τεχνητῶν ὀργάνων, φ έ ρ ε ε ἰ π ε ῖ ν ὁ π έ λ ε κ υ ς, σῶμα ἦν φυσικόν, τὸ εἶδος αὐτοῦ τοῦτον ἂν εἶχε τὸν τρόπον πρὸς αὐτὸν ὡς εἴρηται, καὶ διὰ τοῦτο ἐπάγει· Ἦ ν μ ὲ ν γ ὰ ρ ἂ ν τ ὸ π ε λ έ κ ε ι ε ἶ ν α ι ἡ ο ὐ σ ί α α ὐ τ ο ῦ, τουτέστι τὸ εἶδος τοῦ πελέκεως, καθ᾽ ὃ λαμβάνεται ὁ τοῦ πελέκεως λόγος, ὃν δὴ λόγον φησὶ τὸ πελέκει εἶναι, διότι κατ᾽ αὐτὸν ὁ πέλεκυς λέγεται εἶναι πέλεκυς· οὗτος δὲ τὸ εἶδος ἐστίν, ἐν ᾧ εἴδει εἴη ἂν ἡ οὐσία τοῦ πελέκεως· καὶ τοῦτο διὰ τοῦτο λέγει, διότι τὰ εἴδη τῶν φυσικῶν σωμάτων εἰσὶν ἐν τῷ γένει τῆς οὐσίας. Καὶ ἔτι, εἰ ὁ πέλεκυς μὴ μόνον ἦν σῶμα φυσικὸν ἀλλὰ καὶ ἔμψυχον, τὸ εἶδος τοῦ πελέκεως ἦν ἂν ἡ ψυχὴ αὐτοῦ· καὶ εἴπερ ἦν αὐτὴ χωριστή, χωρισθείσης, οὐκ ἂν ἔτι πέλεκυς ἦν εἰ μὴ ὁμωνύμως, ὥσπερ, χωρισθείσης τῆς ψυχῆς, οὐκ ἔστι σὰρξ ἢ ὀφθαλμὸς εἰ μὴ ὁμωνύμως. Νῦν δέ, διότι ὁ πέλεκυς οὐκ ἔστι σῶμα φυσικὸν οὐδὲ εἶδος αὐτοῦ ἐστι τὸ τί ἦν εἶναι τῷ τοιούτῳ σώματι, ἀφαιρεθέντος τοῦ εἴδους τοῦ πελέκεως, ἔτι ἔστιν ὁ πέλεκυς, τουτέστιν ἡ οὐσία τοῦ πελέκεως. Ἡ γὰρ οὐσία τῶν τεχνητῶν σωμάτων ἐστὶν ἡ ὕλη αὐτῶν, ἥτις ἀπομένει, ἀφαιρεθέντος τοῦ τεχνητοῦ εἴδους, εἰ καὶ μὴ ὑπομένει αὐτὸ τὸ σῶμα τὸ τεχνητὸν ἐνεργείᾳ. Καὶ διότι εἶπεν, ὅτι ἄλλως νῦν ἐστιν ἐν τῷ πελέκει, καὶ ἄλλως ἂν ἦν, εἰ σῶμα ὑπῆρχε φυσικὸν ἔμψυχον, τὸν τούτου λόγον ἀποδίδωσι λέγων, ὅτι τοῦτο ἐστί, διότι ἡ ψυχὴ οὐκ ἔστι τὸ τί ἦν εἶναι καὶ ὁ λόγος, τουτέστι τὸ εἶδος, τοῦ τοιούτου σώματος ἤγουν τοῦ τεχνητοῦ, ἀλλὰ τοῦ τοιουδὶ φυσικοῦ, δηλονότι τοῦ ζωὴν ἔχοντος. Καὶ ἵνα φανερώσῃ

3 *τε* om B  4 *ὅ*: *ὅπερ* B  6 *πρὸς* après *εἴτουν* add B  29 *οὔτε* B



ΙΩΑΝΝΙΝΑ 2006

τί ἐστι τὸ εἶναι φυσικὸν σῶμα, ἐπάγει· τοῦ ἔχοντος ἐν ἑαυτῷ ἀρχὴν κινήσεως καὶ στάσεως. Φυσικὰ γάρ εἰσι τὰ ἐν ἑαυτοῖς ἀρχὴν κινήσεως καὶ στάσεως ἔχοντα· ἡ τοιαύτη γὰρ ἀρχὴ φύσις λέγεται.

Θεωρεῖν δὲ καὶ ἐπὶ τῶν μερῶν. Ἐνταῦθα φανεροῖ τὸν ὁρισμὸν τῆς ψυχῆς ἐκ τῶν μερῶν αὐτῆς λέγων, ὅτι τὸ εἰρημένον περὶ τῆς ὅλης ψυχῆς καὶ περὶ τοῦ ὅλου σώματος τοῦ ζῶντος δεῖ θεωρεῖν καὶ ἐν τοῖς μέρεσιν ἑκατέρου, διότι εἰ ὁ ὀφθαλμὸς ἦν ζῷον, ἔδει τὴν ὄψιν εἶναι ψυχὴν αὐτοῦ, διότι ἡ ὄψις ἐστὶν οὐσιῶδες εἶδος τοῦ ὀφθαλμοῦ, καὶ ὁ ὀφθαλμός ἐστιν ὕλη τῆς ὄψεως, ὥσπερ τὸ ὀργανικὸν σῶμα ὕλη τῆς ψυχῆς. Ἐκλειπούσης δὲ τῆς ὄψεως, οὐχ ὑπομένει ὁ ὀφθαλμὸς εἰ μὴ ὁμωνύμως, ὥσπερ ὁ λίθινος ὀφθαλμὸς ἢ ὁ γεγραμμένος ὁμωνύμως λέγεται ὀφθαλμός. Καὶ τοῦτο διὰ τοῦτο ἐστί, διότι ὁμώνυμα εἰσὶν ὧν τοὔνομα μόνον κοινόν, ὁ δὲ λόγος τῆς οὐσίας διάφορος. Καὶ διὰ τοῦτο, ἀφαιρεθέντος τοῦ εἴδους ἐξ οὗ ἐστιν ὁ λόγος τῆς οὐσίας τοῦ ὀφθαλμοῦ, οὐχ ὑπομένει εἰ μὴ τὸ ὄνομα τοῦ ὀφθαλμοῦ ὁμωνύμως εἰρημένον. Ὅπερ τοίνυν εὑρίσκεται ἐν τῷ μέρει τοῦ ζῶντος σώματος, δεῖ λαμβάνειν ἐν ὅλῳ τῷ ζῶντι σώματι, δηλονότι ὅτι ὥσπερ ἡ ὄψις ἐστὶν οὐσιῶδες τοῦ ὀφθαλμοῦ καὶ ἐκείνου ἀφῃρημένου οὐχ ὑπομένει ὁ ὀφθαλμὸς εἰ μὴ ὁμωνύμως, οὕτως ἡ ψυχή ἐστιν εἶδος οὐσιῶδες τοῦ ζῶντος σώματος, καὶ ἐκείνης ἀφαιρεθείσης οὐχ ὑπομένει τὸ ζῶν σῶμα εἰ μὴ ὁμωνύμως. Ὥσπερ γὰρ ἔχει ἓν μέρος τῆς αἰσθητικῆς ψυχῆς πρὸς ἓν μέρος τοῦ αἰσθητικοῦ σώματος, οὕτως ἔχει καὶ ἡ ὅλη αἴσθησις πρὸς ὅλον τὸ αἰσθητικὸν σῶμα, καθόσον αἰσθητικόν.

Ἔστι δὲ οὐ τὸ ἀποβεβληκὸς. Ἐνταῦθα ἐξηγεῖται τὸν προειρημένον ὁρισμὸν περὶ τῆς ψυχῆς ὅσον πρὸς τοῦτο ὅπερ εἴρηκεν, ὅτι ἐστιν ἐντελέχεια σώματος ἔχοντος ζωὴν ἐν δυνάμει. Λέγεται γάρ τι εἶναι ἐν δυνάμει διχῶς· ἕνα μὲν τρόπον, ὅταν μὴ ἔχῃ ἀρχὴν ἐνεργείας· ἄλλον δὲ τρόπον, ὅταν ἔχῃ μέν, μὴ ἐνεργῇ δὲ κατ' αὐτήν. Τὸ δὲ σῶμα, οὗ ἐντελέχεια ἐστὶν ἡ ψυχή, ἔστιν ἔχον ζωὴν δυνάμει οὐ κατὰ τὸν πρῶτον τρόπον ἀλλὰ κατὰ τὸν δεύτερον· καὶ τοῦτ' ἔστιν ὅ φησι· τὸ σῶμα τὸ δυνάμει ὂν ὥστε ζῆν, τουτέστι τὸ ἔχον ζωὴν δυνάμει, ἧσπερ ἐντελέχεια ἡ ψυχή, οὐχ οὕτω λέγεται εἶναι δυνάμει πρὸς τὴν ζωὴν ὡς ἀπο-
f. 292v βεβληκὸς τὴν ψυχήν, τουτέστι στερούμενον τῆς ἀρχῆς τῆς ζωῆς, | ἥτις ἐστὶν ἡ ψυχή, ἀλλ' ὡς ἔχον τὴν τοιαύτην ἀρχήν. Ἀλλ' ἀληθές ἐστιν, ὅτι τὸ σπέρμα καὶ ὁ καρπός, ἐν ᾧ φυλάττεται τὸ σπέρμα τοῦ φυτοῦ, ἔστι δυνάμει πρὸς τὸ τοιοῦτον σῶμα τὸ ζῶν, τὸ ἔχον ψυχήν· οὔπω γὰρ τὸ σπέρμα ἔχει ψυχήν, ἀλλὰ δυνάμει ἐστὶ πρὸς τὴν ψυχήν· ὅθεν οὕτως ἐστὶν ἐν δυνάμει ὡς ἀποβεβληκὸς τὴν ψυχήν. Καὶ ἵνα δείξῃ πῶς ἐστιν ἐν δυνάμει πρὸς τὴν ζωὴν τὸ σῶμα οὗ ἐντελέχεια ἐστὶν ἡ ψυχή, ἐπάγει

---

10 *ὄψεως*: *ψυχῆς* B   12 *ὄνομα* A   27 *τρόπον* om B   28 *ἐν δυνάμει* B

ὅτι οὕτως ἡ ἐγρήγορσις ἐστὶν ἐντελέχεια τῆς αἰσθητικῆς ψυχῆς ὥσπερ ἡ τμῆσις τῆς μαχαίρας, καὶ ἡ ὅρασις ἐστὶν ἐντελέχεια τοῦ ὀφθαλμοῦ· ἕκαστον γὰρ αὐτῶν ἐστὶν ἐνέργεια καὶ χρῆσις τῆς ἀρχομένης ἀρχῆς. Ἀλλ' ἡ ψυχὴ ἐστὶν ἐντελέχεια πρώτη, ὥσπερ ἡ ὅρασις καὶ ἑκάστη δύναμις τοῦ ὀργάνου· ἕκαστον γὰρ αὐτῶν ἐστὶν ἀρχὴ ἐνεργείας. Ἀλλὰ τὸ σῶμα, ὅπερ ἐστὶ τέλειον διὰ τὴν ψυχήν, ἔστι δυνάμει μὲν ἔχον τὴν πρώτην ἐντελέχειαν, ἀλλὰ στερόμενον, ἔστιν ὅτε, τῆς δευτέρας ἐντελεχείας. Ἀλλ' ὥσπερ ὁ ὀφθαλμὸς σύνθετον τί ἐστιν ἐκ τῆς κόρης ὡς ὕλης, καὶ τῆς ὄψεως ὡς μορφῆς, οὕτω καὶ τὸ ζῷον ἐστὶ σύνθετον ἐκ τῆς ψυχῆς ὡς εἴδους, καὶ τοῦ σώματος ὡς ὕλης.

Ὅτι μὲν οὖν οὐκ ἔστιν. Ἐνταῦθα συμπεραίνει τινὰ ἀλήθειαν ἐκ τῶν προτεθειμένων. Ἐπειδὴ γὰρ ἔδειξεν, ὅτι ἡ ψυχὴ ἐστὶν ἐντελέχεια ὅλου τοῦ σώματος καὶ τὰ μέρη εἰσὶν ἐντελέχειαι τῶν μερῶν, ἡ δὲ ἐντελέχεια καὶ τὸ εἶδος οὐ χωρίζεται τοῦ οὗ ἐστιν ἐντελέχεια ἢ εἶδος, φανερόν ἐστιν, ὅτι ἡ ψυχὴ οὐ δύναται χωρίζεσθαι τοῦ σώματος, ἢ αὐτὴ ὅλη, ἢ τινὰ μέρη αὐτῆς, εἰ πέφυκε τρόπῳ τινὶ μέρη ἔχειν. Φανερὸν γάρ ἐστιν, ὅτι τινὰ μέρη τῆς ψυχῆς εἰσὶν ἐντελέχειαι τινῶν μερῶν τοῦ σώματος, ὡς εἴρηται ὅτι ἡ ὄψις ἐστὶν ἐντελέχεια τοῦ ὀφθαλμοῦ. Ἀλλὰ κατά τινα μέρη οὐδὲν κωλύει τὴν ψυχὴν χωρίζεσθαι, διότι τινὰ μέρη τῆς ψυχῆς οὐδενὸς σώματος εἰσὶν ἐντελέχειαι, ὡς ἔμπροσθεν δειχθήσεται ἐπὶ τῶν περὶ τὸν νοῦν. Καὶ διότι ὁ Πλάτων ἐτίθει τὴν ψυχὴν εἶναι ἐντελέχειαν τοῦ σώματος οὐχ ὡς εἶδος, ἀλλ' ὡς κινοῦν, ἐπάγει ὅτι τοῦτο οὔπω ἐστὶ φανερόν, εἰ ἡ ψυχὴ ἐστὶν οὕτως ἐντελέχεια τοῦ σώματος ὥσπερ ὁ πλωτὴρ ἐστιν ἐντελέχεια τῆς νεώς, δηλονότι ὡς κινῶν μόνον. Μετὰ ταῦτα ἐπιλέγων συνάγει τὰ εἰρημένα, καὶ φησὶν ὅτι κατὰ τὰ προειρημένα διώρισται περὶ ψυχῆς καὶ τέθειται ἡ ταύτης ὑπογραφὴ τυπικῶς ὡσανεὶ ἐξωτερικῶς καὶ ἐπιπολαίως καὶ ἀτελῶς. Τελειωθήσεται δὲ ὁ περὶ τῆς ψυχῆς διορισμός, ὅταν ἀφίκηται μέχρι τῶν ἐνδοτάτων ὥστε διορισθῆναι τὴν φύσιν ἑκάστου μέρους αὐτῆς τῆς ψυχῆς.

## Leçon III.

Ἐπεὶ δὲ ἐκ τῶν ἀσαφῶν μέν. Θεὶς ὁ Φιλόσοφος τὸν ὁρισμὸν τῆς ψυχῆς, ἐνταῦθα τίθεται δεικνύειν αὐτόν. Καὶ πρῶτον λέγει περὶ τίνος ἐστὶν ὁ σκοπὸς αὐτῷ· δεύτερον, ἐπεξεργάζεται, ἐν τῷ· Λέγωμεν οὖν. Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, διορίζεται τὸν τρόπον τῆς ἀποδείξεως ᾧ χρῆσθαι βούλεται, ἐν τῷ· Ἀποδεικνύειν· δεύτερον, φανεροῖ ὅπως τινὲς ὁρισμοὶ εἰσὶν ἀποδείξεις, ἐν τῷ· Οὐ γὰρ μόνον, καὶ τὰ λοιπά.

---

**23-24** *ἐντελέχεια: εἶδος* **B** **26** *ἤγουν* **avant** *ὡσανεὶ* **add B**

Ε.Υ.Δ της Κ.τ.Η
ΙΩΑΝΝΙΝΑ 2006